(Theognidis)

οὐδένα Κύρν' αὐγαὶ φαεσιμβρότου ἠελίοιο
ἄνδρ' ἐφορῶσ' ὧι μὴ μῶμος ἐπικρέμαται· ×
1184a ἀστῶν δ' οὐ δύναμαι γνῶναι νόον ὅντιν' ἔχουσιν· >367
b οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω οὔτε κακῶς. 368

---

νοῦς ἀγαθόν, καὶ γλῶσσα· τὰ δ' ἐν παύροισι πέφυκεν
ἀνδράσιν οἳ τούτων ἀμφοτέρων ταμίαι.

---

οὔτις ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρεῖαν
δυστυχίην, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι,
οὐδ' ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμπηι,
θνητὸς ἀνὴρ δώροις βουλόμενος προφυγεῖν.

---

οὐκ ἔραμαι κλισμῶι βασιληΐωι ἐγκατακεῖσθαι
τεθνεώς, ἀλλά τί μοι ζῶντι γένοιτ' ἀγαθόν.
ἀσπάλαθοι δὲ τάπησιν ὁμοῖον στρῶμα θανόντι·
τῶι ξυνόν, σκληρὸν γίνεται ἢ μαλακόν.

---

μή τι θεοὺς ἐπίορκον ἐπόμνυθι· οὐ γὰρ ἀνεκτὸν
ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.

(Theognidis)

⊗ ὄρνιθος φωνὴν Πολυπαΐδη ὀξὺ βοώσης
ἤκουσ', ἥ τε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττί μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς,
οὐδέ μοι ἡμίονοι κυφὸν ἕλκουσιν ἄροτρον